# TEZAUR LITURGIC

## 9 NOIEMBRIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL
## SF.IERARH
# NECTARIE
# DE LA EGHINA,
## MITROPOLITUL
## PENTAPOLISULUI
## III

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΝΕΚΤΑΡΙΟΝ
# ΕΠΙΣΚΟΠΟΝ ΠΕΝΤΑΠΟΛΕΩΣ
# ΘΥΜΑΤΟΥΡΓΟΝ

**Ποίημα Γερασίμου Μοναχού Μικραγιαννανίτου**

Ευλογήσαντος του ιερέως λέγομεν τον παρόντα ψαλμόν.

Ψαλμόs ρμβ' (142)

Θεός Κύριος, και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

(τετράκις) με στίχους.

Εξομολογείσθε τω Κυρίω, και επικαλείσθε το όνομα το άγιον αυτού.

Πάντα τα έθνη εκύκλωσάν με, και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.

Είτα το "Θεός Κύριος και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου" τετράκις και τα επόμενα τροπάρια.

Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.

Ως τον θαυμάτων την ακένωτον χάριν, πλουσίως Πάτερ έκ Θεού δεδεγμένος, των προσιόντων ευλαβώς τη σκέπη σου, λύεις τα νοσήματα και δεινάς καχεξίας, παύεις τη ση χάριτι και παρέχεις υγείαν, θαυματουργέ Νεκτάριε αεί, τοις εκζητούσι, την θείαν πρεσβείαν σου.

Δόξα Όμοιον.

Η των Χανίων επαγάλλεται πόλις, ως ιατρείον θαυμαστόν κεκτημένη, τον σον ναόν Νεκτάριε μακάριε, ω πιστώς προστρέχοντες, από πάσης της Κρήτης, ίασιν και λύτρωσιν και παθών θεραπείαν, οι ασθενούντες δρέπονται αεί, τη δεδομένη, θεόθεν σοι χάριτι.

Και νύν. Θεοτοκίον

Ου σιωπήσωμέν ποτε, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι· ειμή γαρ συ προϊστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν έως νυν ελευθέρους; Ουκ αποστώμεν, Δέσποινα, υκ σου· σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ωδή α΄ Ήχος πλ. δ΄ Υγράν διοδεύσας.

Θαυμάτων πηγάζων τας δωρεάς, ψυχών και σωμάτων, θεραπεύεις πάθη δεινά, των πίστει και πόθω προσιόντων, τω σω ναώ Ιεράρχα Νεκτάριε.

Αγάλλου Χανίων πόλις λαμπρά, τον άγιον οίκον, Νεκταρίου του θαυμαστού, ως μέγα προσφύγιον πλουτούσα, εν ευκαιρίαις παντοίαις και θλίψεσι.

Υψόθεν Νεκτάριε νοερώς, φοιτών των ναώ σου, πάσι δίδου ως συμπαθής, τοις σπεύδουσι τούτω καθ' εκάστην, την ταχυτάτην σου Πάτερ βοήθειαν.

Θεοτοκίον

Μη φλέξας ο λόγος ό του Θεού πύρ υπάρχων Κόρη, την γαστέρα σου την αγνήν, προήλθεν ως άνθρωπος τω κόσμω και των ανθρώπων την φύσιν διέσωσε.

Ωδή γ΄. Ουρανίας αψίδος.

Από πάσης της Κρήτης, οι χαλεπώς κάμνοντες, τω εν τοις Χανίοις αγίω ναώ σου σπεύδουσιν, ενθα λαμβάνουσι, τα καταθύμια Πάτερ, όθεν και κηρύττουσι, τα σα θαυμάσια.

Των πολλών σου θαυμάτων και δωρεών Άγιε, πανταχού εξήλθεν η χάρις, η πλουσιόδωρος, πάντας προφθάνουσα, τους εν κινδύνοις τελούντας και πάσι παρέχουσα, ρώσιν και έλεος.

Ώφθης Πάτερ κατ' όναρ, πλείστοις δεινώς πάσχουσι και τοις τεθλιμμένοις παρέχοις, χαράν και ίασιν, τη αντιλήψει σου, όθεν Χανίων η πόλις εν τοις θαυμασίοις σου, χαίρει εκάστοτε.

Θεοτοκίον.

Νέον βρέφος τεκούσα σωματικώς Άχραντε, τον πρό των αιώνων Δεσπότην και Παντοκράτορα, νέον με εργάσαι, παλαιωθέντα κακία κατά νούν Πανάμωμε, ταίς ικεσίαις σου.

Διάσωσον θαυματουργέ Νεκτάριε Ιεράρχα, πάσης βλάβης και ασθενείας και θλίψεως, τους ευλαβώς προσιόντας τω σω τεμένει. Επίβλεψον εν ευμενεία Πανύμνητε Θεοτόκε, επί την εμήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα...Ήχος β΄. Πρεσβεία θερμή.

Προστάτης θερμός και μέγα καταφύγιον εδείχθης ημίν Νεκτάριε πανθύμαστε, διό η Κρήτη άπασα, εξαιρέτως Χανίων η πόλις δε, ανακηρύττουσι Πάτερ αεί, της σης αρωγής χάριν την άφθονον.

Ωδή δ΄. Εισακήκοα Κύριε

Ως μέγιστην προς Κύριον έχων παρρησίαν Πάτερ Νεκτάριε, μη ελλείπης εξαιρούμενος, πάσης ημάς βλάβης του αλάστορος. Άγιε Νεκτάριε πρέσβευε υπέρ ημών.

Φυγαδεύονται δαίμονες και δεινά παθήματα θεραπεύονται, την προσψαύσει του σπονδύλου σου, του Χαριτοβρύτου, ω Νεκτάριε.

Θεραπείον αδάπανον, ο εν τοις Χανίοις ναός σου πέφηνε, δια τούτο σε γεραίρουσιν, οι των σών χαρίτων απολαύοντες.

Θεοτόκιον.

Η πρεσβεία σου Άχραντε, άπαντας λυτρούται πάσης κακώσεως, ης τη χάριτι προστρέχοντες, θείας ευφροσύνης εμπιπλάμεθα.

Ωδή ε΄. Φώτισον ημάς

Σε καταφυγήν, εν ανάγκαις Πάτερ έχοντες, τω άγιω σου προστρέχομεν ναώ και λαμβάνομεν ταχέως τα αιτήματα.

Πάθη τα δεινά, θεραπεύεις ω Νεκτάριε και παρέχεις την υγείαν θαυμαστώς, τοις προσπίπτουσι πιστώς τη αντιλήψει σου.

Ήστραψαν εν γη, αι ακτίνες των θαυμάτων σου διά τούτο πας πιστός πίστει θερμή, εν κινδύνοις καταφεύγει τη πρεσβεία σου.

Θεοτόκιον.

Γέγονας ημίν, σωτηρίας πύλη Άχραντε, ως τεκούσα τον Σωτήρα Ιησούν διό σώσον με τοις πάθεσιν ολλύμενον.

Ωδή στ΄. Την δέησιν μου εκχέω.

Η πόλις η των Χανίων προστάτην, ευραμένη σε Νεκτάριε Πάτερ, τω σω άγιω ναώ καταφεύγει και την σην χάριν κυρύττει τοις πέρασιν, ότι τοις πάσι βοηθείς, τους ποικίλως νοσούντας ιωμένος.

Ωράσαι τοις σε καλούσι κατ' όναρ και δηλοίς τοις αγνοούσι σην κλήσιν και πάσι νέμεις την χάριν σου Πάτερ ότι ο Θεός θαυμαστώς σε εδόξασεν, εν τοις εσχάτοις τοις καιροίς, εις ημών περιποίησιν Άγιε.

Προστρέχει τω εν Χανίοις ναώ σου, των Κρητών των ευσεβών πάσα τάξις και των πολλών σου χαρίτων τρυφώσα τοις θαυμάσιοις σου Πάτερ εξίσταται, Νεκτάριε θαυματουργέ, ήν φυλάτεις παντοίων εκθλίψεων.

Θεοτόκιον.

Αφράστως τον Ποιητήν των απάντων εξ αχράντων σου αιμάτων τεκούσα, γεγενημένων βροτόν ώσπερ οίδεν εις ανακαίνισιν κόσμου και λύτρωσιν, της των παθών με συνοχής, δυσωπώ σε Παρθένε εκλύτρωσαι.

Διάσωσον θαυματουργὲ Νεκτάριε Ιεράρχα, πάσης βλάβης και ασθενείας και θλίψεως, τους ευλαβώς προσιόντας τω σω τεμένει.

Άχραντε η δια λόγου τον Λόγον ανερμηνεύτως, επ’ εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον.Ήχος β΄. Τοις των αιμάτων σου.

Τη ταχυτάτη πρεσβεία σου Άγιε, οι έν κινδύνοις υπάρχοντες σπεύδοντες, πικράς συνοχής απαλλάτονται και χαριστήριον αίνον σοι άδουσι Νεκτάριε Πάτερ ιερώτατε.

Προκείμενον

Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι Οσίοι σου αγαλλιάσει αγαλλιάσονται.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος των Οσίων αυτού.

ΕΥΑΓΓΕΛΙΟΝ Εκ του κατά Ματθαίον.

Τω καιρώ εκείνω, ηκολούθησαν τω Ιησού αυτώ όχλοι πολλοί από της Γαλιλαίας και Δεκαπόλεως και Ιεροσολύμων και Ιουδαίας και πέραν του Ιορδάνου. Ιδών δε τους όχλους ανέβη εις το όρος, και καθίσαντος αυτού προσήλθον αυτώ οι μαθηταί αυτού. Και ανοίξας το στόμα αυτού, εδίδασκεν

αυτούς λέγων: Μακάριοι οι πτωχοί τω πνεύματι, ότι αυτών έστιν η βασιλεία των ουρανών. Μακάριοι οι πενθούντες, ότι αυτοί παρακληθήσονται. Μακάριοι οι πραείς, ότι αυτοί κληρονομήσουσι την γην. Μακάριοι οι πεινώντες και διψώντες την δικαιοσύνην, ότι αυτοί χορτασθήσονται. Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται. Μακάριοι οι καθαροί τη καρδία, ότι αυτοί τον Θεόν όψονται. Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται. Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών έστιν η βασιλεία των ουρανών. Μακάριοι έστε όταν ονειδίσωσιν υμάς και διώξωσι και είπωσι πάν πονηρόν ρήμα καθ' υμών ψευδόμενοι ένεκεν εμού. Χαίρετε και αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοις ουρανοίς. ούτω γαρ εδίωξαν τους προφήτας τους προ υμών.

Δόξα………. Ταίς του Ιεράρχου πρεσβείες ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νύν……..Ταίς της Θεοτόκου πρεσβείαις ελεήμον εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ελέησον με ο Θεός κατά το μέγα έλεος σου και κατά το πλήθος των οικτιρμών σου, εξάλειψον το ανόμημα μου.

Προσόμοιον. Ήχος πλ. β΄. Όλην αποθέμενοι.

Όρμον ως αχείμαστον και σωτηρίας λιμένα, τον ναόν σου Άγιε, τον σεπτόν ευράμενοι μετά πίστεως, προς αυτόν σπεύδομεν, και πικρών κυμάτων των του βίου εκλυτρούμεθα, γαλήνην άκλυστον και ειρήνην θείαν δεχόμενοι και πειρασμών εκλύτρωσιν, ταις σαις προς Θεόν παρακλήσεσιν, όθεν σε υμνούμεν ως μέγαν αντιλήπτορα ημών και προς τον Κτίστην Νεκτάριε, πρέσβυν ετοιμότατον.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Τας των νόσων οδύνας και καρκίνου το πάθος το χαλεπώτατον, Νεκτάριε ιάσαι, διο σοι εκβοώμεν. Της αυτού λυμής φύλαττε, Πάτερ ημάς ασινεις τους σε υμνολογούντας.

Εξ απάσης της Κρήτης, τω ενταύθα Ναώ σου Πάτερ προστρέχοντες, λαμβάνουσιν ιάσεις και πάσαν θεραπείαν, ψυχής άμα και σώματος και ως προστάτην θερμόν, υμνουσί σε παμμάκαρ.

Ρέει άφθονος χάρις, ως πηγή νεκταρώδης εκ του Λειψάνου σου και άπασαν πικρίαν, των θλίψεων εξαίρει και βραβεύε εκάστοτε, τον αληθή γλυκασμόν, ημίν θαυματοφόρε.

Θεοτόκιον

Γεωργείς ανηρότως, υπέρ φύσιν και λόγον των πάντων Κύριον, δι' οίκτον βροτωθέντα και σώσαντα

τον κόσμον, διο Κόρη γεώργησον, την ταπεινήν μου ψυχήν, εννοίαις ουρανίαις.

Ωδή η΄. Τον Βασιλέα.

Έχων μέγιστην, προς τον Χριστόν παρρησίαν, παμμακάριστε Νεκτάριε μη παύση, άπασι παρέχων, βοήθειαν εν πάσι.

Ρώσιν ταχείαν, τη πατρική αρωγή σου, δίδου Άγιε τοις κατατρυχόμενοις, νόσοις ανιάτοις και θλίψεσι βαρείαις.

Αγαλλιάται, πόλις Χανίων τρισμάκαρ, τω αγίω εγκαυχωμένη, ένθα σου η χάρις, υπερφυώς εκλάμπει.

Θεοτοκίον.

Σκέπη μου έσο, παντί τω βίω Παρθένε και εν ώρα μοι βοήθει του θανάτου, ίνα βασιλείας, της του Υιού σου τύχω.

Ωδή θ΄. Κυρίως Θεοτόκον.

Ιάματα ποικίλα, βρύει ο ναός σου διο τη θεία Εικόνι σου Άγιε και τω σεπτώ σου λειψάνω πιστώς προσπίπτομεν.

Μανίας των δαιμόνων και της ασθενείας, της χαλεπής του καρκίνου διάσωζε, τους ευλαβώς σε τιμώντας Πάτερ Νεκτάριε.

Οι θέλοντες ρυσθήναι, πάσης αρρωστίας, τω Νεκταρίω τεμένει προσέλθετε, εξ ου ιάσεων βλύζει χάρις ακένωτος.

Θεοτόκιον.

Υπέραγνε Μαρία Κεχαριτωμένη, χαρίτωσον μου ψυχήν και διάνοιαν, διά ζωής εναρέτου, ίνα δοξάζω σε.

Το Άξιον εστί και τα μεγαλυνάρια.

Χαίροις Εκκλησίας νέος αστήρ, Νεκτάριε Πάτερ, Ορθοδόξων η καλλονή, χαίροις ασθενούντων, ταχυτάτος ακέστωρ, Νεκτάριε παμμάκαρ, Αγγέλων σύσκηνε.

Έλαμψας εσχάτοις εν τοις καιροίς ως πάμφωτον άστρον, λαμπηδόσι των αρετών και καταπυρσεύεις Χριστού την Εκκλησίαν, θαυμάτων ταις άκτισι, Πάτερ Νεκτάριε.

Έχει τον ναόν σου τον ιερόν, Χανίων η πόλις, ως αγίασμα θαυμαστόν, ένθα προσιόντε, των

ευσεβών οι δήμοι, Νεκτάριε πληρούνται, θείας χρηστότητος.

Χαίροις αντιλήπτωρ των ευσεβών, ο καρκίνου πάθος, θεραπεύων το χαλεπόν, χαίροις ο κατ’ όναρ φαινόμενος και ύπαρ Νεκτάριε και πάσι, νέμων τα πρόσφορα. Νέκταρ των αύλων σου δωρεών, βρύει ο ναός σου εν Χανίοις ο ιερός και την Κρήτην πάσαν, αρδείαις ταις γλυκείαις, αρδεύει και ευφραίνει, Πάτερ Νεκτάριε.

Φύλαττε και σκέπε πάσης οργής, την πόλιν Χανίων την τιμώσαν σε ευλαβώς, και την νήσον Κρήτην και πάσαν την Ελλάδα, Νεκτάριε ως πρέσβως ημών, προς Κύριον.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Το τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και

απόλυσις, μεθ’ ην το επόμενον.

Ήχος α΄. Της ερήμου πολίτης.

Σηλυβρίας τον γόνον και της Κρήτης τον έφορον, τον εσχάτοις χρόνοις φανέντα, αρετής φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ως ένθεον θεράποντα Χριστού, αναβλύζει γαρ ιάσεις παντοδαπάς, τοις ευλαβώς κραυγάζουσι, δόξα τω σε δοξάσαντι Χριστώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Ήχος β΄. Ότε εκ του ξύλου.

Πάντας τους προστρέχοντας πιστώς, Πάτερ τω αγίω Ναώ σου και αιτουμένους θερμώς, Άγιε Νεκτάριε, την σήν βοήθειαν, πειρασμών απολύτρωσαι και νόσων παντοίων, ως θεράπων ένθεος του Παντοκράτορος, λύων συμφορών τας εφόδους και ρώσιν τοις πάσχουσι νέμων, τη συμπαθεστάτη αντιλήψει

σου.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξον με υπό την σκέπην σου.

Δίστιχον

Νεκτάριε βλύσον μοι νέκταρ το θείον Γερασίμω σπεύδοντι τη ση πρεσβεία

[Τον Παρακλητικό Κανόνα που ψάλλεται στον Ι.Ν Αγίου Νεκταρίου στα Χανιά, μας έστειλε ο κ. Ε.Ν.Ε., τον οποίο και ευχαριστούμε θερμά!]

